ΤΩΝ

# ΜΑΘΗΜΑΤΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ

ΑΙ

## ΠΡΑΓΜΑΤΕΙΑΙ ΑΙ ΑΡΧΟΕΙΔΕΣΤΑΤΑΙ

Ἐκ τῶν τȣ̃ Μαθηματικωτάτȣ

## ΙΩΑΝ. ΑΝΔΡ. ΣΕΓΝΕΡΟΥ

ΚΑΙ

ΣΥΓΓΡΑΜΜΑΤΩΝ ΚΑΙ ΣΥΝΟΥΣΙΩΝ

Φιλοπόνῳ μὲν Σπȣδῇ

## ΕΥΓΕΝ. ΔΙΑΚ. ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

Φιλοτίμῳ δὲ δαπάνῃ

ΤΟΥ ΕΞΟΧΩΤΑΤΟΥ ΕΝ ΙΑΤΡΟΦΙΛΟΣΟΦΟΙΣ

ΚΥΡΙΟΥ

ΘΩΜΑ ΤΟΥ ΜΑΝΔΑΚΑΣΟΥ.

---

Γεωμετρίαν καὶ Ἀριθμητικὴν ἀςραβῆ τῆς ἀληθείας κανόνατις εἰπὼν, ȣ̓κ ἂν ἁμάρτοι τȣ̃ πρέποντος.

Συνέσ. πρὸς Παιόνιον.

---

Ἐν Λειψίᾳ τῆς Σαξονίας

ἐν τῇ Τυπογραφίᾳ τȣ̃ Βρειτκόπφ.

Ἔτει αψξζ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006



ΤΩ

# ΥΨΗΛΟΤΑΤΩ ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΩ ΑΥΘΕΝΤΗ ΚΥΡΙΩ ΜΟΙ

# ΚΥΡΙΩ

# ΑΛΕΞΑΝΔΡΩ ΣΚΑΡΛΑΤΟΥ ΓΚΙΚΑ ΒΟΕΒΟΔΑ

ΤΩ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΩ ΗΓΕΜΟΝΙ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

Φορτικῶς μᾶλλον ἤπερ μοι δοκεῖ καὶ πικρῶς, ἢ ὀρθῶς ἐπεσκῶφθαι καὶ δικαίως, τὸ, πρὸς τοὺς ἐν ὑποσχέσει Φιλοσοφίας ἐπὶ θύρας τὰς τῶν ἐν ὑπεροχῇ καὶ δυνάμει προσιόντας, πά-



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗ... Θ. ΠΕΤΣΙ...
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαι ἐπιτοξευθέν. Καὶ ὐδὲ Ἀρίστιππος καλῶς, εἰμὴ ἄλλως ἐπὶ τῷ σκώμματι ἐναστεϊσάμενος· ὃς, τὸ εἰδέναι δῆθεν ὧν ἐπιδεεῖς εἰσὶν, ἐκείνοις ἐπητιάσατο. Φιλοσοφεῖν μὲν γὰρ ἐπαγγελλομένῳ, ἔπειτα πρὸς ἡδονὴν καὶ τὴν ἄλλην ῥαστώνην τῦ βίυ τὴν τοιαύτην ἀγαπήσαντι διατριβήν τε καὶ προσεδρείαν, κατ' αὐτὸ δὴ τῦτο τὰ τῆς ὑποσχέσεως ἔῤῥειτε καὶ ὑπεξέση, καὶ τὸ σχῆμα διέψευσαι. Καὶ μάτην ἄρα, ἔνθα μηδὲ τὴν ἀρχὴν παριέναι φύσιν ἐστὶν ἔχον, τὸ θεσπέσιον χρῆμα, ὡς ἄρα καὶ παρὸν, διαβέβληται. Προαιρυμένης δὲ τὰ βέλτιστα καὶ λυσιτελέστατα, αὐτοῖς τ' ἐκείνοις τῶν Δυναστευόντων οἷς ἂν συγγένοιτο, καὶ δι' αὐτῶν τοῖς ἄλλοις, ὐδεὶς εὐλόγως Φιλοσοφίας καταιτιάσεται. Οὐ γὰρ ὖν, εἰμὴ καὶ ἐν γωνίᾳ πυ καθεῖρχθαι δεῖν αὐτὴν οἰήσεται ὁ τοιῦτος, ἢ ἐν μυχοῖς ζῶσαν κατορωρύχ-

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ: ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

ρωρύχθαι. Καὶ τῇ μὲν ἀπαιδευσίᾳ καὶ ἀγροικίᾳ, ὁποίποτ' ἂν ἐθέλοι πόδας ἕρπειν, ἐπ' ἀδείας ἐξεῖναι· μηδὲν αὐτῷ διαφέρον, εἰ καθάπερ τοῦ παρὰ τῷ Ἀράτῳ Διός,

. . . . . μεσταὶ καὶ ταύτης πᾶσαι μὲν ἀγυιαὶ,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, κτ. . . . .

τῇ δὲ, οὔτε εὐρεῖαν τινὰ, οὔτε λεπτὴν ἄλλην πάροδον εἰς τὸν βίον ἀπολελεῖφθαι· μονήρη δ' οἵαν αὐτὴν καὶ μονότροπον, ἀφανῆ τε καὶ ἄϊστον καὶ ἄπυστον λανθάνειν· καὶ τί ἄλλ' ἢ ἐξ ἀνθρώπων γενέσθαι; τὴν ἄλλως ἐν ἐξόδοις ὑμνεῖσθαι ἀξιόχρεων οὖσαν, καὶ ἐν πλατείαις παῤῥησίαν ἄγειν, καὶ ἐν πύλαις Δυναστῶν παρεδρεύειν, ὥσπερ ἀκούομεν. Εἴτι φασὶν ἐν ἐκείνοις τὰ Λόγια. Ἀλλ' ὅτι μὲν οὕτω περὶ τῆς Φιλοσοφίας καὶ τῶν ταύτης τροφίμων τινὲς ὑπειλήφασιν, οἷς οὐδὲ μετὸν αὐτῆς οὐδόλως, οὐδὲ μελεῖναι ὡς ἔοικεν ἄξιον, θαυμάζειν οὐ χρή. Οὐδὲ γὰρ, εἰ καὶ ὄμ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

μα φαεινὸν ἡλίου, ὑπὸ γῆν εἰς τὸ διηνεκὲς καταδεδύσθαι, μηδὲν ἐδόκει διαφέρειν οἷς ὄμματ' οὐκ ἔνεστιν οὐδὲ νοῦς, θαυμάσαι τις ἄν. Ἡ δὲ Φιλοσοφία τῶν οὕτω γνώμης περὶ αὐτὴν ἐχόντων οὐδὲν προτιμῶσα, μᾶλλον δὲ καὶ τῆς ἀνοίας αὐτοὺς οἰκτείρουσα, καὶ Βασιλεῦσι πρόσεισι θαῤῥοῦντως, καὶ Δυνάσταις, καὶ Ἄρχουσι· τοῖς μὲν εὐπαῤῥησιάστως εἰ τύχοι προσομιλοῦσα, τοῖς δὲ εἰς δέον τὰ καθήκοντα ὑποβάλλουσα, τοῖς δὲ, καὶ ἔτι τῶν παρ' αὐτῇ χρησίμων τε καὶ καλῶν φιλοπονηθείη, ἀνατιθεῖσα τοῦτο αὐτοῖς καὶ καθοσιοῦσα, ὡς ἱερὸν εἶναι σφίσι τὸν πάντα χρόνον διαμένον Ἀνάθημα. Καὶ πρὸς ποσὶν ὁ δῖος Ὄρνις ἀείποτε τοῖς τοῦ Ζηνός·

Μήτι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη

μηδὲν ὅλως ἐπιστρεφόμενος. Ἡ μὲν οὖν οὕτω. ΣΥ δὲ ΗΓΕΜΟΝΩΝ ΚΡΑΤΙΣΤΕ

καὶ

καὶ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΕ ἀποδέξῃ δήπου καὶ τὸν ἄνδρα καὶ τὸν Ὄρνιν τοῦ Θεοῦ, τὸν αἴσιόνγε τὸ πτερὸν παρὰ ΣΕ ἰθύνοντα. Καὶ Φιλοσοφίαν εὖ οἶδ᾽ ὅτι διασμενίῃ, τὴν εὐθύμως μὲν πρὸς τῷ ΣΩ Θρόνῳ πελάζουσαν, τῶν δὲ γνησιωτάτων αὐτῆς γεννημάτων, ἔντι τόδε τὸ χαριέστατόν ΣΟΙ προσάγουσαν, καὶ τῷ ΣΩ ΠΑΝΕΚΛΑΜΠΡΩ ΟΝΟΜΑΤΙ καταγλαΐσαι τοῦτο καὶ καλλῦναι, καὶ σεμνότερόν τε καὶ εὐπρεπέστερον ἀποφῆναι σπουδάζουσαν. Σπουδάζει γὰρ οὐχ ἑαυτῆς ἕνεκα μόνον· οὐδὲ γὰρ πάνυτι αὐτὴν τῆς παρ᾽ ἀνθρώπων χρεὼ τιμῆς·

. . . . . Φρονέει δὲ τετιμῆσθαι Διὸς αἴσῃ.

μάλιστα δὲ τῶν ἐντευξομένων τῷδε τῷ παρ᾽ αὐτῆς ΣΟΙ προσαγομένῳ Συγγράμματι. Οὗπερ ἡλίκου δὴ τοῦ ΠΡΟΣΤΑΤΟΥ τυχεῖν αὐτὸ κατηξίωται ἐννοήσαντας,

τας, καὶ ὐδὲν ὅ,τι μὴ σεμνὸν, καὶ διαφερόντως τίμιον, καὶ καλὸν, καὶ συμφέρον τοῖς τηλικύτοις θέμις εἶναι δωροφορεῖσθαι καὶ ἀνατίθεσθαι ἢ δέον νομίσαντας καὶ πεπεισμένυς, πλείονα μὲν εἰκὸς περὶ αὐτὸ ἐνδείξεσθαι τὴν σπυδήν τε καὶ προθυμίαν, ἀντιςάσιον δὲ τῇ προθυμίᾳ καὶ τῇ σπυδῇ καρπώσεσθαι τὴν ὠφέλειαν· τὰ γάρτοι καλὰ, ἀεὶ μὲν καθ᾽ ἑαυτὰ καλὰ, μηδαμῇ τῆς φύσεως ἐξισάμενα· ἐπειδὰν δὲ καὶ τῆς παρὰ τῶν ἐν δόξῃ καὶ δυνάμει καθεςώτων ἀποδοχῆς ἀξιωθῇ καὶ ἐπισυςάσεως, καλλιόνάπως κρίνεσθαι φιλεῖ· καὶ τὸ περισπύδαςον προσκτησάμενα, εἰς χρῆσιν ἕλκει τὺς πλείονας· τῇ δὲ χρήσει ἡ ὄνησις ἐθέλει συμπαρακολυθεῖν· ὃ τὸ μάλιςα ἐςὶν, ὑπὸ Φιλοσοφίας παρ᾽ ἀνθρώποις ἐπιδημύσης, σκοπύμενον. Τῦτο μὲν ὖν ὧδε πρὸς τὸ παρὸν ὄναιτό ΣΟΥ

ἡ βελτίςη Φιλοσοφία ΥΨΗΛΟΤΑΤΕ καὶ ΓΑΛΗΝΟΤΑΤΕ ΑΥΘΕΝΤΑ. Εὐπραγοῦσα δηλονότι παρὰ ΣΟΙ, καὶ ὑπὸ τῇ ΣΗ Προςασίᾳ σεμνυνομένη τε καὶ κυδαινομένη ἐν εὐδοκιμωτέρῳ τῷ σχήματι. Καὶ μὲν δὴ, καὶ τοὺς ἰδίους ἑαυτῆς καρποὺς διὰ ΣΟΥ πολλοῖς ἐπισυνιςῶσα τε καὶ ἐπικοινουμένη, ὡς ἂν ᾖ τοῖς ἐξ αὐτῆς ὠφελεῖσθαι βουλομένοις μᾶλλον ὀνήσιμος. Ἡ δὲ παρὰ ταῦτα, καὶ ἐσμὸν προσέτι μυρίων ἀγαθῶν ἄλλων, ἀμφοῖν τοῖς Ἔθνεσιν, ἐξ ὧντε ἔφυς, τῷγε Ἡμετέρῳ φημὶ, ὧντε ἄρχειν ἔλαχες, τῷ τῶν γενναίων Οὐγκροβλάχων, παρὰ τῆς ΣΗΣ ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ ἥκοντα, τὸν μὲν καθορῶσα γέγηθε καὶ φαιδρύνεται, τὸν δὲ καὶ προσημαίνει καὶ ἀπομαντεύεται. ΣΟΙ γὰρ ἀπὸ τοῦ πανευκλεεςάτου καθ' ἡμᾶς καὶ περιβοήτου τῶν ΓΚΙΚΑΔΩΝ ΓΕ-

ΝΟΥΣ, διὰ τῆς χρυσῆς ἐκείνης τῷ ὄντι καὶ θεοπλέκτου σειρᾶς τῆς ἐκ τοσούτων τε καὶ τηλικούτων ΗΓΕΜΟΝΩΝ ὁρμωμένῳ, οὐχ ὅπως δι' ἀρετὴν Πατρῴαν ἤδη, καὶ Παππῴαν, καὶ Προπαππῴαν δὴ, καὶ ἔτι πρὸς, ὠφλισκάνετο τὰ τῆς παρελθούσης ἐπὶ ΣΕ Δυναστείας, ἀλλὰ καὶ διὰ τὸ περιὸν τῶν ἐν ΣΟΙ πλεονεκτημάτων πλῆθος καὶ μέγεθος, καὶ ἀρετῆς οὐχ ἧττον ἰδίας, ἢ προγονικῆς, γέρας ἔοικεν ἐπιβραβευθῆναι τὸ δικαιότατον. Τεκμήριον δὲ, ὅτι τοῦ πανευκλεῶς τε καὶ ἀξιαγάστως τήνδε τὴν Ἡγεμονίαν τὸ δεύτερον ἤδη ἰθύνοντος Ἀοιδίμου ΣΚΑΡΛΑΤΟΥ ΒΟΕΒΟΔΑ τοῦ ΣΟΥ ΠΑΤΡΟΣ, ἀπὸ τῆς ἐπικήρου ταύτης Ἀρχῆς, ἐπὶ Βασιλείαν ἄλλην μετακληθέντος ἀκήρατον καὶ αἰώνιον, πρὸς ΣΕ καίτοι πόῤῥω τῶν Βασιλείων ἀφεστῶτα, ὅθεν

ὡς

ὡς ἀπὸ πηγῶν αἱ Ἡγεμονίαι νάειν πεφύκασιν, ἀπὸ τῆς πρώτης αἱ δεύτεραι, πρὸς ΣΕ φημὶ τὸ σκῆπτρον τῆς διαδοχῆς περιῆλθε, τοῦ Βασιλέως ΣΕ καὶ κατὰ χώραν μένοντα προστησαμένου, ὡς τὰ μέγιστα οὕτω χαριεῖσθαι τῷ ὑπηκόῳ δεηθέντι νομίσαντος. Αὐτὸς γὰρ τῶν ἐκ τοῦ πρὶν ΗΓΕΜΟΝΕΥΣΑΝΤΟΣ φύντων οὐ μόνον γενέσει, ἀλλὰ καὶ ἀρετῇ ὁ πρῶτος καὶ ἄριστος γεγονὼς, ἐπὶ τὴν Ἀρχὴν προήχθης δημαίτητος, πρὶν ἢ σωμάτων δηλαδὴ, ψυχῶν τε καὶ καρδιῶν ἄρξας πρότερον. Καὶ τὸ μὲν ὑπήκοον ἅπαν ἐπὶ ΣΕ οὕτως αὐτίκα ἐπέβλεψεν·

ΣΟΥ γὰρ ἐπὶ γλώσσης γλυκερὴν χεύουσιν ἐέρσην
αἱ Χάριτες·
ΣΟΥ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα. Οἱ δέ τε λαοὶ
Πάντες ἐπὶ ΣΕ ἑώρων διακραίνοντα θέμιστας.

Βασι-

Ε.Υ.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

Βασιλεὺς δέ τοῖς συμφώνῳ καὶ ψυχῇ καὶ γνώμῃ, τὸν ὑφ' οὗ ἀρχθεῖεν αἰτησαμένοις, καὶ μάλα ἡδέως ἐπένευσε. Πρὸ δὲ τούτων Θεὸς δήπου τὰς μὲν τοῦ λαοῦ ψυχὰς εἰς συμφωνίαν συνῆγε, τὴν δὲ καρδίαν τοῦ Βασιλέως εἰς συγκατάθεσιν ἔκλινεν, εἰ τοῦ μὲν τὴν φωνὴν, φωνὴν εἶναι Κυρίου, τοῦ δὲ τὴν καρδίαν ἐν χειρὶ κεῖσθαι τοῦ Θεοῦ ὡμολόγηται. Καὶ ταύτῃ οὖν κατὰ θείαν μοῖραν προδήλως ἄνωθεν τοῦ κράτους εἰς ΣΕ περιήκοντος, ἀπὸ τῶν ἐπὶ τῷ ΠΑΤΡΙ δακρύων, ἐπὶ τὴν περὶ τὸν ΥΙΟΝ χαρμονὴν, ἐκ θείας μηχανῆς ἀτεχνῶς εἰπεῖν τὸ δράμα μεθίστατο. Καὶ ὁ μὲν ἐπὶ τῆς Ἀρχῆς κατέλυε τὸν βίον ἐσθλῶς, ὁ δ' ἀντεισήγου, ὡς τοῖς ἴχνεσι τοῖς ἐκείνου ἐκ τοῦ προσεχοῦς παρακολουθήσων, καὶ τὸ λεῖπον ἐκείνῳ ἐπικατορθώ-

σων,

σων, καὶ τὴν εὐδαιμονίαν τοῖς ἀρχομένοις ἐπισφραγιζόμενος. Ἅματε τῷ μὲν ἆθλον ἀρετῆς ἐντάφιον ὁ Θρόνος κατέστη, ΣΟΙ δὲ ἀρετῆς καὶ δόξης προοίμιον· ἧς ἐπὶ τὸ πέρας καὶ τὴν ἀκρότητα τίς οὐ συνορᾷ ἐκθύμως ἐλαύνοντα, τὸν ἐκ πρώτης ἀφετηρίας οὕτως εὐτυχοῦς ὁρμησάμενον; Ἀλλὰ χωροίη σύμφωνον τοῖς προοιμίοις τὸ τέλος ΥΨΗΛΟΤΑΤΕ καὶ ΘΕΟΦΡΟΥΡΗΤΕ ΗΓΕΜΩΝ, καὶ κατευθύνοιτο διὰ πάσης ἀγαθῆς καὶ βουλῆς καὶ πράξεως προβαῖνον ΣΟΥ τὸ ἀγώνισμα. Καὶ εἴης ἄχρι γήρως ἐπὶ τοῦ Ὑψηλοῦ Θρόνου ὑφ' ἧς τέταξαι προνοίας, ἐπ' εὐκληρίᾳ τῶν ὑπὸ ΣΟΥ ἀρχομένων στηριζόμενος, παρεδρευούσης μὲν ΣΟΙ τῆς Θέμιδος, συνθακούσης δὲ τῆς Δίκης, τοῦ δὲ Νόμου ἀεὶ συνόντος, καὶ τῆς ἐπὶ τού-

των

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ... της Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

# ΠΡΟΣΦΩΝΗΣΙΣ.

των ἁπάντων ἐφόρου δίκην ἐπικαθημένης Φιλοσοφίας, παῤῥησίας παρὰ ΣΟΙ ἀπολαυούσης, καὶ οὐδέντι μᾶλλον σεμνοτέρας ὑπὸ ΣΟΥ καθισαμένης, ἢ συντελούσης ΣΟΙ εἰς σεμνότητα.

ΤΗΣ

ΥΜΕΤΕΡΑΣ ΘΕΟΣΕΒΕΣΤΑΤΗΣ ΥΨΗΛΟΤΗΤΟΣ

Ἐν Λειψίᾳ αψξζ.
Σεπτεμβρίου β.

ὑποκλινέστατος ἐλάχιστος δοῦλος
ΕΥΓΕΝΙΟΣ Ο ΔΙΑΚΟΝΟΣ
Ο ΒΟΥΛΓΑΡΙΣ.

ΠΑΙΣΙΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006